Isocrates: Orationes

Italien, wahrscheinlich Florenz, Mitte 15. Jh. 



διακινδυνεύσωμεν, ἐξὸν ὥσπερ ἐκεῖνοι πεποιήκασι, καὶ τῶν προειρημένων
μᾶλλον ἐγκωμιασθησόμεθα, καὶ τοῖς ἐπιγινομένοις, οὐδε-
μίαν ὑπερβολὴν ἀνδραγαθίας ὑπολείψομεν· ἀλλὰ καὶ τοὺς
βουλομένους ἡμᾶς, εὐλογεῖν, ἀπορεῖν ποιήσομεν τί τῶν πεπραγ-
μένων ἡμῖν, ἀξίως ἐροῦσιν· δεῖ δὲ μὴ δὲ τοῦτο λανθάνειν ἡ-
μᾶς, ὅτι πάντες τῶ συλλογῶ τούτων, καὶ τοῖς γνωσθησομένοις
ὑφ' ἡμῶν, προσέξουσι τὸν νοῦν· ὥσπερ οὖν ἐν κοινῷ θεάτρῳ
τῶν ἑλλήνων διδόντες ἔλεγχον, ἕκαστος ὑμῶν τῆς αὐτοῦ φύσεως,
οὕτω διακείσθω τὴν γνώμην· ἔστι δ' ἁπλοῦν τὸ καλῶς βουλεύ-
σασθαι περὶ τούτων· ἐὰν μὲν γὰρ ἐθελήσωμεν ἀποθνήσκειν,
ὑπὲρ τῶν δικαίων, οὐ μόνον εὐδοκιμήσομεν, ἀλλὰ καὶ τὸν
ἐπίλοιπον χρόνον, ἀσφαλῶς ἡμῖν ἐξέσται ζῆν, εἰ δὲ φοβη-
θησόμεθα τοὺς κινδύνους, εἰς πολλὰς ταραχὰς καταστήσομεν
ἡμᾶς αὐτούς· παρακελευσάμενοι οὖν ἀλλήλοις, ἀποδῶμεν
τὰ τροφεῖα τῇ πατρίδι· καὶ μὴ περιίδωμεν ὑβρισθεῖσαν τὴν λα-
κεδαίμονα καὶ καταφρονηθεῖσαν· μηδὲ ψευσθῆναι ποιήσωμεν
τῶν ἐλπίδων τοὺς εὔνους ἡμῖν ὄντας· μηδὲ περὶ πλείονος
ποιούμενοι τὸ ζῆν, προδόται φανῶμεν τοῦ παρὰ πᾶσιν ἀνθρώποις
εὐδοκιμεῖν· ἐνθυμηθέντες, ὅτι κάλλιόν ἐστιν ἀντὶ θνητοῦ σώ-
ματος, ἀθάνατον δόξαν ἀντικαταλλάξασθαι, καὶ ψυχῆς ἧς οὐχ
ἕξομεν ὀλίγων ἐτῶν, πρίασθαι τοιαύτην εὔκλειαν, ἣ πάντα
τὸν αἰῶνα τοῖς ἐξ ἡμῶν γινομένοις παραμενεῖ· πολὺ μᾶλ-
λον κρεῖττον μεγάλου καιροῦ τιμὴν ἀνταλλάξασθαι, ἢ μικροῦ
χρόνου μεγάλαις αἰσχύναις ἡμᾶς αὐτοὺς περιβαλεῖν· ἡ-
γοῦμαι δ' ἄν, ὑμᾶς οὕτω μάλιστα παροξυνθῆναι πρὸς τὸν
πόλεμον, εἰ ταῖς διανοίαις, ὥσπερ παρεστῶτας ἴδοιτε τοὺς
γονέας, καὶ τοὺς παῖδας τοὺς ὑμετέρους, τοὺς μὲν παρα-
κελευομένους μὴ καταισχῦναι τὸ τῆς σπάρτης ὄνομα· μὴ δ'